Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα[20]) ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται[21]) εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ[22]) τῷ ([22]) μαστιγοῦν[23]) τὸν Ὀδυσσέα. παραγίνεται δὲ χορὸς[24]) Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ[25]) καὶ[26]) Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες[27]) τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι ὁ[28]) Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται· καὶ μάλιστα ὁ[29]) χορός. ὅθεν δὴ[30]) ὁ Αἴας προελθὼν ἔμφρων[31]) γενόμενος ἑαυτὸν[32]) ἀπολοφύρεται. καὶ τούτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς[33])· ὁ δὲ ὑποκρινόμενος πεπαῦσθαι ἔξεισι[34]) καθαρσίων ἕνεκα[35]) καὶ ἑαυτὸν διαχρῆται[36]). εἰσὶ δὲ καὶ ἐπὶ τῷ[37]) τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα[38]) θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν[39]) Τεῦκρος ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας ([39]) οἱ ἄνθρωποι

20. τὸν Ὀδυσσέα T.
21. προσκαλεῖται I. S. Jen.
22. ὡς ἐπὶ F. J. S. Dind. ἐπὶ vulg.
(22.) τῷ] τὸ Ald.
23. ὡς μαστιγώσων Jen.
24. χορός] αὐτῷ χορὸς τῶν Jen.
25. δὲ om. F.
26. καὶ] ἡ J. S. Jen.
27. ἑκάτερος — μαθόντες] μαθόντες οὖν παρ' ἀλλήλων T.
28. ὁ om. A.
29. ὁ om. A.
30. ὅθεν δή] ὅθεν δέ τοι F. J. ἐντεῦθεν T.
31. καὶ ἔμφρων T.
32. ἑαυτὸν om. F.
33. ἀπολοφύρεται — ὀργῆς] ἀπολοφύρονται . καὶ δεῖται αὐτοῦ ἡ τέκμησσα τῆς ὀργῆς παύσασθαι Jen.
34. ὑποκρινόμενος — ἔξεισι] ὑποκριθεὶς — ἔξεισι δῆθεν T.
35. ἕνεκα F. Dind. ἕνεκεν vulg.
36. διαχρῆται — ἐπί] διαχειρίζεται — ἐν T. διαχειρίζεται also Dresd. a.
37. τῳ om. A.
38. Μενέλαον οὐκ ἐῶντα] μενέλεων καὶ πρὸς ἀγαμέμνονα οὐκ ἐῶντας T. Dresd. a. Turn. Wund.
39. θάπτειν — αὐτόν] θάψαι — αὐτὸ Jen.
(39.) φιλονεικίας] λύπης ἄκρας Dresd. a. Mosq. a. Turn.